Ακαδημία Αθηνών / Academy of Athens

Α1 ΟΙΑ

# ΔΙΑΤΑΞΙΣ

## ΤΗΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΠΩΣ ΓΙΝΕΤΑΙ

## ΕΝ ΤΗι ΜΕΓΑΛΗι ΕΚΚΛΗΣΙΑι

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ Α. ΚΟΛΛΑΡΑΚΗ ΚΑΙ Ν. ΤΡΙΑΝΤΑΦΥΛΛΟΥ
— *Κάτωθι τοῦ Δημαρχείου* —
1890

2580

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

# ΔΙΑΤΑΞΙΣ

## ΤΗΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΠΩΣ ΓΙΝΕΤΑΙ

## ΕΝ ΤΗι ΜΕΓΑΛΗι ΕΚΚΛΗΣΙΑι

ΑΚΑΔΗΜΙ[illegible] ΩΝ
ΑΡ. 290
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ Α. ΚΟΛΛΑΡΑΚΗ ΚΑΙ Ν. ΤΡΙΑΝΤΑΦΥΛΛΟΥ
— *Κάτωθι τοῦ Δημαρχείου* —
1890

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΤΩι ΠΑΝΑΓΙΩΤΑΤΩι

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩι ΠΑΤΡΙΑΡΧΗι

ΠΡΩΗΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΥΡΙΩι ΚΥΡΙΩι

# ΙΩΑΚΕΙΜ ΤΩι Γ΄.

Η ΠΑΡΟΥΣΑ ΔΙΑΤΑΞΙΣ ΠΑΡΤΙΑΡΧΙΚΗΣ

ΛΕΙΤΟΥΡΓΙΑΣ

ΑΝΑΤΙΘΕΤΑΙ ΕΥΛΑΒΩΣ

ΠΑΡΑ ΤΟΥ ΑΝΤΙΓΡΑΨΑΝΤΟΣ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΠΡΟΛΟΓΟΣ

Τὴν ἑπομένην ἀξιόλογον καὶ χρήσιμον διάταξιν τῆς τοῦ οἰκουμενικοῦ πατριάρχου λειτουργίας, κατὰ τὴν ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἐπικρατοῦσαν συνήθειαν τὸ πάλαι, εὗρον ἐν μεμβρανίνῳ τεύχει τῆς βιβλιοθήκης τῆς ἐν τῇ σεβασμίᾳ Λαύρᾳ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου. Τὴν βιβλιοθήκην ταύτην, φθοραῖς καὶ ἀπωλείαις μαστιζομένην τὸ πρότερον, βλέπει πᾶς τις σήμερον ἐν τῇ Κεντρικῇ Βιβλιοθήκῃ τοῦ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων ἀποκειμένην ὑπὸ ἰδιαιτέραν συνεχῆ ἀρίθμησιν, τοῦ μακαριωτάτου Ἱεροσολύμων πατριάρχου Νικοδήμου ἐπαινετῶς ἀποφασίσαντος καὶ διατάξαντος τὴν ἐκ τῆς λαύρας τοῦ ὁσίου Σάββα μετακόμισιν αὐτῆς, ὡς καὶ τὴν παρ᾽ ἐμοῦ κατάταξιν καὶ καταγραφὴν αὐτῆς ἐν κεχωρισμένῳ τμήματι καὶ καταλόγῳ. Ἔχει λοιπὸν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τανῦν ὁ κῶδιξ, ἐν ᾧ ἡ εἰρημένη περιέχεται διάταξις, τὸν 607ον ἀριθμόν, ἀντὶ τοῦ πρότερον 362ου ἀριθμοῦ. Σχῆμα δὲ ἔχει τὸ σύνηθες ὄγδοον (ἤτοι 0,20ἑκ. ×0,136), καὶ σύγκειται ἐξ 76 φύλλων μεμβρανίνων, ἐξ ὧν μόνον τὸ τελευταῖον ἀφέθη ἄγραφον. Προτάσσονται δὲ καὶ δύο ἕτερα φύλλα, τὸ μὲν τεμάχιον ὂν ἑτέρου μεμβρανίνου φύλλου, τὸ δὲ φέρον σημείωσιν, ἐξ ἧς δηλοῦται ὅτι ὁ κῶδιξ οὗτος εἶχεν ἀφιερωθῇ ὑπὸ τοῦ πατριάρχου Ἱεροσολύμων Σωφρονίου εἰς τὸν ἐν Ἱεροσολύμοις πατριαρχικὸν ναὸν τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης, τὸν ἔνδον τῆς μονῆς τοῦ τῶν Ἁγιοταφιτῶν τάγματος. Τὸ κείμενον τοῦ κώδικός ἐστι μονόστηλον, ὁ δὲ γραφικὸς χαρακτήρ του τοῦ τεσσαρεςκαιδεκάτου αἰῶνος. Ἡ διάταξις τῆς πατριαρχικῆς λειτουργίας περιλαμβάνεται ἐν τοῖς φύλλοις 50 β — 61β. Περιέχει δ' ἔτι τὸ τεῦχος τάξιν γινομένην ἐπὶ σαλευθείσῃ τραπέζῃ (φ. 1α ), εὐχὰς τῆς γονυκλισίας (φ. 1β ), τάξιν ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης ( φ. 27β ), εὐχὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοῦ ἁγίου Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ λύσεως ναοῦ ὑπὸ αἱρέσεως μιανθέντος, λεγομένην δὲ ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας ( φ. 30α ), εὐχὴν ἑτέραν λεγομένην ἔμπροσθεν τῆς ἁγίας τραπέζης ( φ. 31α ), εὐχὴν ἐπὶ ἀνοίξει ναοῦ βεβηλωθέντος ὑπὸ ἐθνικῶν ἢ ὑπὸ αἱρετικῶν καθυβρισθέντος ( φ. 31β ), εὐχὴν λεγομένην ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον ἢ ζῷον ἄλογον (κατὰ τὸν πάλαι νόμον ἀκάθαρτον καὶ ἄθυτον), ἢ ἔθανεν ἢ ἐγέννησεν ( φ. 32α ), εὐχὴν ἱκετήριον εἰς τὴν ὑπεραγίαν Θεοτόκον (φ. 33β ), τάξιν γινομένην ἐπὶ χειροτονίᾳ ἀναγνώστου ( φ. 34α ), ἑτέρας ἐν χειροτονίᾳ ὑποδιακόνου, διακόνου, ποεσβυτέρου καὶ ἐπισκόπου ( φ. 35β — 50β ), τάξιν γινομένην τῇ μεγάλῃ πέμπτῃ ἐπὶ τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης ( φ. 61β ), εὐχὴν εἰς ἁγίαν τράπεζαν, ἧς τὰ ἄμφια παλαιωθέντα διεφθάρησαν ( φ. 65α ), εὐχὴν πρὸ τῆς θείας μυσταγωγίας ( φ. 65β ), ἑτέραν εἰς τὴν ὑπεραγίαν Θεοτόκον ( φ. 66β ) καὶ τάξιν ἐπὶ χειροτονίᾳ σταυροφό-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ή

ρου (φ. 67α). Ἐπειδὴ δὲ ἐν τέλει ὑπῆρχον φύλλα τινὰ ἄγραφα, ταῦτα κατὰ μὲν τὴν ιέ. ἑκατονταετηρίδα ἐπλήρωσέ τις δι' ἀποστολοευαγγελίων τινῶν, κατὰ δὲ τὴν ιϛ'. ὁ Ἱεροσολύμων Σωφρόνιος διὰ δύο τύπων ἀπαντήσεως εἰς μηνύματα ἀρχιερέων τοῦ τε οἰκουμενικοῦ καὶ τοῦ ἱεροσολυμιτικοῦ θρόνου. Ὁ αὐτὸς πατριάρχης ὑπέγραφε καὶ τὸ ὄνομα αὐτοῦ καὶ ἐν τῇ ὤᾳ τοῦ πρώτου φύλλου τοῦ κώδικος, προσθεὶς καὶ τὴν ἀπὸ κτίσεως κόσμου χρονολογίαν 7107, συμπίπτουσαν τῷ 1598—1599 ἔτει.

Τὸ κείμενον τῆς διατάξεως ἀντεγράφη ὡς οἷόν τε πιστῶς, παραλειφθέντων τῶν ἐν τῷ κώδικι εὐαρίθμων ὀρθογραφικῶν σφαλμάτων.

**Δρ. Α. Παπαδόπουλος Κεραμεύς.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΚΕΙΜΕΝΟΝ

ΤΗΣ

# ΔΙΑΤΑΞΕΩΣ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΔΙΑΤΑΞΙΣ
# ΤΗΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΠΩΣ ΓΙΝΕΤΑΙ

## ΕΝ Τῌ ΜΕΓΑΛῌ ΕΚΚΛΗΣΙᾼ

Ὁ πατριάρχης μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν, κατέρχεται ἐκ τοῦ στασιδίου αὐτοῦ· καὶ εἰ μὲν ψάλλουσιν ἔτι τὸν ὄρθρον, φορένει ἔμπροσθεν τοῦ στασιδίου αὐτοῦ, εἰ δὲ οὐ ψάλλουσιν, ὄπισθεν τοῦ στασιδίου. Ἐρχόμενοι γοῦν οἱ διάκονοι καὶ προσκυνοῦντες—κρατοῦντες ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον καὶ τὸ ὠράριον—λαμβάνουσιν εὐλογίαν παρὰ τοῦ πατριάρχου καὶ φορένουσιν αὐτοὶ πρῶτον, ὁ δὲ πατριάρχης ἐκβαλὼν τὸ μανδύον, εἶτα προσκυνήσας τρὶς κατὰ ἀνατολάς, λέγει καθ᾿ ἑαυτὸν τὴν εὐχὴν ταύτην· «*Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου*». Καὶ πληρώσας αὐτήν, ἄρχεται ἐνδύεσθαι τὴν ἀρχιερατικὴν στολήν, ἀλλάσσοντος αὐτὸν τοῦ καναστρισίου, συνεργούντων αὐτῷ καὶ τῶν λοιπῶν διακόνων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὅτε δὲ ἐνδύεται τὸ στιχάριον, λέγουσιν οἱ ὑπηρετοῦντες διάκονοι· «*Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ*». Εἰς δὲ τὸ ἐπιτραχήλιον λέγουσιν· «*Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, νῦν καὶ εἰς τοὺς αἰῶνας*». Εἰς δὲ τὴν ζώνην· «*Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας*». Εἰς δὲ τὸ δεξιὸν ἐπιμάνικον λέγουσιν· «*Ἡ δεξιά σου, Κύριε, δεδόξασται*» ἕως «*τοὺς ὑπεναντίους*»· ἕτεροι δὲ λέγουσι· «*Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με*». Εἰς δὲ τὸν ἀριστερόν· «*Αἱ χεῖρές σου ἐποίησάν με*» ἕως «*τὰς ἐντολάς σου*»

Ὁ δὲ ἐπὶ τῶν γονάτων λαβὼν τὸ ἐπιγονάτιον περιτίθησιν αὐτὸ ἀπὸ τοῦ δεξιοῦ μέρους, κάτωθεν τῆς ζώνης, λέγων· «*Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου*». Εἰς δὲ τὸ φαινόλιον, ἤτοι τὸν σάκκον, λέγουσιν· «*οἱ ἱερεῖς σου, Κύριε*», ἕως τοῦ «*ἀγαλλιάσονται*». Ὁ δὲ κανστρίσιος λαβὼν τὸ ὠμοφόριον ἐπιτίθησι τῷ ὤμῳ τοῦ πατριάρχου, λέγων· «*Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθείς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες*».

Ἰστέον δέ, ὅτι τὴν ἀρχιερατικὴν στολήν, ἥ-

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γουν τὸ στιχάριον, τὸ ἐπιτραχήλιον, τὰ ἐπιμάνικα, τὸ ἐπιγονάτιον, τὸ φαινόλιον καὶ τὸ ὠμοφόριον, πρῶτον εὐλογεῖ καὶ ἀσπάζεται, εἶτα περιβάλλεται αὐτήν· μόνην δὲ τὴν ζώνην εὐλογεῖ, οὐ μὴν καὶ ἀσπάζεται.

Ὅταν τοίνυν ἄρξηται φορένειν ὁ πατριάρχης, οἱ ἀρχιερεῖς ἐρχόμενοι καὶ προσκυνοῦντες κατὰ τάξιν, προσκαλουμένου αὐτοὺς τοῦ ἐπὶ τῆς εὐταξίας, ἀπέρχονται εἰς τὸν συνήθη τόπον καὶ φορένουσι. Τοῦτο δὲ γίνεται μὴ οὔσης χειροτονίας ἀρχιερατικῆς· εἰ γάρ ἐστι χειροτονία, οὐ φορένουσι νῦν, ἀλλ' εἰσερχόμενοι εἰς τὸ ἅγιον Βῆμα ἐνδύονται ἐπάνω τῶν μανδύων φαινόλια ἱερατικὰ καὶ κάθηνται, περιμένοντες τὸν καιρόν. Τοῦ δὲ ὄρθρου πληρωθέντος, μετὰ τὴν μεγάλην δοξολογίαν, εἷς τῶν διακόνων, ἀνερχόμενος ἐν τῷ Ἄμβωνι, ποιεῖ τὴν ἐκτενῆ καὶ τὰς αἰτήσεις, καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν χωρὶς ἀπολύσεως. Ὁ δὲ πατριάρχης, μετὰ τὴν δοξολογίαν, προπορευομένου ἔμπροσθεν τοῦ ἐπὶ τῆς εὐταξίας καὶ τῶν διακόνων κατὰ συζυγίαν καὶ κατὰ τάξιν, ἀνέρχεται ἐν τῇ Ἀναβάθρᾳ διὰ μέσου τοῦ Ἀετοῦ, εἴπερ ἐστὶ χειροτονία ἀρχιερέως. Καὶ μετὰ τὸ γενέσθαι τὴν ἐπὶ τῷ χειροτονουμένῳ τάξιν, οἱ μὲν ἀρχιερεῖς ἀπέρχονται καὶ φορένουσιν, ὁ δὲ δευτερεύων τῶν διακόνων, πρότερον προσκυνή-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



σας τρὶς κατὰ ἀνατολάς, λέγει πρὸς ἑαυτόν· «*Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*»· εἶτα στρέφεται πρὸς τὸν πατριάρχην, καί, ὑποκλίνας τὴν κεφαλὴν ἑαυτοῦ, κρατῶν καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς καὶ ὑποδεικνὺς αὐτὸ λέγει· «*Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, δέσποτα, εὐλόγησιν*»· καὶ ὁ πατριάρχης, ἀνιστάμενος καὶ σφραγίζων αὐτόν, λέγει· «*Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν κτλ.*». Εἶτα ὁ διάκονος· «*Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα*»· καὶ ὁ πατριάρχης· «*Κατευθύναι Κύριος*»· καὶ πάλιν ὁ διάκονος· «*Μνήσθητί μου, δέσποτά μου ἅγιε*»· καὶ ὁ πατριάρχης· «*Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ*». Καὶ οὕτως ἀσπασάμενος ὁ διάκονος τὸ ὠράριον ἀπέρχεται καὶ ἀσπάζεται καὶ τὴν χεῖρα τοῦ πατριάρχου καὶ λαμβάνει εὐλογίαν. Καὶ εὐθὺς ὁ πατριάρχης κατέρχεται καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ τοῦ μέρους τοῦ δεξιοῦ τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ καὶ χειροτονεῖ ἀναγνώστας καὶ ὑποδιακόνους.

Εἰ δὲ οὐκ ἔστι χειροτονία ἀρχιερέως, οὐ λαμβάνει τὸν καιρόν, καθὼς εἴπομεν, οὔτε ὁ πατριάρχης ἀνέρχεται ἐν τῇ Ἀναβάθρᾳ· ἀλλὰ μετὰ τὴν τῶν ἀναγνωστῶν καὶ ὑποδιακόνων χειροτονίαν ἐν τῷ συνήθει τόπῳ πρὸ τῶν βασιλικῶν πυλῶν ἱσταμένου τοῦ πατριάρχου, ὁ δευτερεύων

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



λαμβάνει τὸν καιρόν, καὶ οὕτω πέμπει διάκονον ἕτερον ποιῆσαι τὴν ἔναρξιν τῆς λειτουργίας.

Ἀνερχόμενος τοίνυν ὁ διάκονος εἰς τὸν Ἄμβωνα, προσκυνεῖ κατέναντι τῶν ἁγίων Θυρῶν τρὶς μετὰ εὐλαβείας, λέγων καθ' ἑαυτὸν τὸ «*Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου*»· καὶ οὕτως ἐκφωνεῖ· «*Εὐλόγησον, δέσποτα*». Καὶ ἄρχεται ὁ τὴν προσκομιδὴν ποιήσας, λέγων· «*Εὐλογημένη ἡ βασιλεία*». Εἶτα ὁ διάκονος· «*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν*» καὶ τὰ λοιπά.

Τούτων δὲ λεγομένων, λέγει καὶ ὁ πατριάρχης τὰς εὐχὰς τῶν τριῶν ἀντιφώνων, κρατοῦντος τὸ κοντάκιον τοῦ ἱερομνήμονος. Τὸ δὲ αὐτὸ τοῦτο ποιοῦσι καὶ οἱ ἀρχιερεῖς ἐν ᾧ ἵστανται τόπῳ. Ὁ δὲ ποιήσας ἱερεὺς τὴν προσκομιδήν, λέγει τὰς τρεῖς ἐκφωνήσεις. Εἶτα εἰσελθόντων καὶ τῶν ἀρχιερέων καὶ σταθέντων ἐξ ἀριστερῶν τοῦ πατριάρχου, ὁ ἐν τῷ Ἄμβωνι διάκονος εἰςέρχεται εἰς τὸ ἅγιον Βῆμα καὶ λαμβάνει τὸ Εὐαγγέλιον ἀπὸ τῶν χειρῶν τοῦ ἱερέως, καὶ ποιοῦσι τὴν εἴσοδον, τοῦ ἐπὶ τῆς εὐταξίας ἔμπροσθεν αὐτῶν προπορευομένου μετὰ νάρθηκος. Ὁ μὲν οὖν διάκονος, ὁ κρατῶν τὸ ἅγιον Εὐαγγέλιον, ἐλθὼν ἐπιδίδωσιν αὐτὸ τῷ δευτερεύοντι τῶν διακόνων. Ὁ δὲ ποιήσας τὴν προσ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



κομιδὴν ἱερεύς, ἐρχόμενος καὶ προσκυνῶν τὸν πατριάρχην, λαμβάνει εὐλογίαν, καὶ ἵσταται ἐξ ἀριστερῶν τῶν ἀρχιερέων· καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν. Κλινόντων δὲ πάντων τὰς κεφαλάς, λέγει ὁ δευτερεύων· «*Τοῦ Κυρίου δεηθῶμεν*», ἅμα καὶ τὸ ὠράριον κρατῶν τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός. Καὶ λέγει ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς τὴν εὐχὴν τῆς εἰσόδου. Αὐτῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν πατριάρχην· «*Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον*», δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου, οὕτως ὡς κρατῶν αὐτό. Καὶ ὁ πατριάρχης, ποιῶν σταυρὸν κατὰ ἀνατολάς, λέγει· «*Εὐλογημένη ἡ εἴςοδος τῶν Ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ . . .*». Εἶτα ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον. Ὁ δὲ διάκονος στὰς εἰς τὸ μέσον, ἀντικρὺ τοῦ Ἄμβωνος, ἀνυψοῖ τὰς χεῖρας μικρόν, καί, δεικνύων τὸ Εὐαγγέλιον, λέγει· «*Σοφία, ὀρθοί*». Καὶ οὕτω γίνεται ἡ εἴσοδος. Οὕτω δέ, ὡς εἴποι ὁ διάκονος «*Σοφία, ὀρθοί*», ἐκφωνοῦσιν οἱ ἐπισκοπιανοί· «*Εἰς πολλὰ ἔτη, δέσποτα*».

Ἐρχομένης δὲ τῆς εἰσόδου κατὰ ἕνα ποταμόν, ἐκφωνοῦσιν οἱ αὐτοί· «*Εἰς πολλὰ ἔτη, δέσποτα*». Ὅταν δὲ ἄρξωνται λέγειν τοῦτο, ἵστανται πάντες, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ διά-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



κονοι καὶ ὁ πατριάρχης αὐτός. Ὅταν δὲ ἔλθῃ πλησίον τῶν ἁγίων εἰκόνων καὶ προσκυνήσῃ αὐτάς, ἄρχονται λέγειν οἱ ψάλται εἷς καθεὶς· «*Εἰς πολλὰ ἔτη, δέσποτα*», ἕως ἂν ἔλθῃ ἐν τῇ Σωλίᾳ. Ἐρχόμενοι δὲ πάντες εἰς τὰς ἁγίας Θύρας κατὰ συζυγίαν, ἐνταῦθα μερίζονται, καὶ ἀσπάζεται εἷς τὴν μίαν Θύραν καὶ ὁ ἕτερος τὴν ἄλλην, καὶ οὕτως εἰσέρχονται εἰς τὸ ἅγιον Βῆμα· οἱ δὲ διάκονοι ἀσπάζονται καὶ τὴν ἁγίαν τράπεζαν. Ὅταν δὲ φθάσῃ ὁ πατριάρχης εἰς τὰς ἁγίας Θύρας, ἀσφαλίζουσιν αὐτὰς οἱ ὠστιάριοι, καὶ ἀσπάζεται πρῶτον τὴν δεξιάν, εἶτα τὴν εὐώνυμον, καὶ οὕτως ἀνοίγουσιν αὐτὰς καὶ εἰςέρχεται, καὶ ὄπισθεν αὐτοῦ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς, ἀσπαζόμενοι καὶ αὐτοὶ τὰς ἁγίας Θύρας, ὡς καὶ οἱ διάκονοι. Ἅμα δὲ τῷ εἰσελθεῖν τὸν πατριάρχην, λαμβάνει τὸν θυμιατὸν ἐκ τοῦ κανστρισίου, καὶ θυμιᾷ κύκλῳ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν, ψαλλόντων τῶν διακόνων τὸ ἀπολυτίκιον τῆς ἡμέρας· καὶ ἀποδιδοὺς τὸν θυμιατὸν τῷ κανστρισίῳ, θυμιᾶται παρ᾽ αὐτοῦ. Εἶτα λαμβάνει τὸ δικέριν ἀπ᾽ αὐτοῦ καὶ ἀνέρχεται εἰς τὴν κρηπῖδα τῆς ἁγίας Τραπέζης, καί, κρατῶν τὸ δικέριν ἐν τῇ δεξιᾷ, ποιεῖ σταυροὺς ἄνωθεν τοῦ Εὐαγγελίου, λέγων καθ᾽ ἑαυτόν· «*Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ*» ἕως

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοῦ «*ἡ δεξιά σου*»· καὶ ἀποδίδωσι τὸ δικέριν τῷ κανστρισίῳ. Ὁ δὲ δευτερεύων τῶν διακόνων, ἐρχόμενος ἔμπροσθεν τοῦ πατριάρχου, κλίνας τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὠράριον, ὡς εἴρηται, λέγει· «*Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ τρισαγίου*». Ὁ δὲ πατριάρχης, σφραγίζων αὐτόν, λέγει· «*Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν*». Τοῦ δὲ κοντακίου πληρωθέντος παρὰ τῶν ψαλτῶν, ὁ λαβὼν τὸν καιρὸν τοῦ τρισαγίου διάκονος, ἐλθὼν ἐγγὺς τῶν ἁγίων Θυρῶν, δείκνυσι τὸ ὠράριον αὐτοῦ τοῖς ἐκτός, λέγων· «*Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*».

Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς, ψαλλομένου τοῦ τρισαγίου τρὶς παρὰ τῶν ψαλτῶν, ψάλλουσι τοῦτο καὶ οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἅπαξ, τρὶς προσκυνοῦντες ἐν τῷ ψάλλειν αὐτόν. Εἶτα οἱ μὲν ψάλται λέγουσι τὸ «*δόξα*», ὁ δὲ πατριάρχης, λαβὼν τὸ τρικέριν ἀπὸ τοῦ κανστρισίου, ποιεῖ αὖθις σταυροὺς τρεῖς ἄνωθεν τοῦ Εὐαγγελίου, κρατῶν καὶ τὸ τρικέριν ἐν τῇ δεξιᾷ, λέγων καὶ τὸ «*Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ*». Πληρωθέντος δὲ τοῦ «*δόξα*», ψάλλουσιν οἱ τοῦ βήματος τὸν τρισάγιον ὁμοίως· καὶ ψάλλουσιν οἱ ψάλται πάλιν, καὶ πάλιν οἱ τοῦ Βήματος.

Τοῦ δὲ τελευταίου τρισαγίου ψαλλομένου παρὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τῶν τοῦ Βήματος, ὁ πατριάρχης κατέχων τὸ τρικέριν ἐν τῇ δεξιᾷ στρέφεται πρὸς δυσμὰς καὶ εὐλογεῖ τὸν λαὸν τρίς. Πληρωθέντος δὲ τοῦ τρισαγίου, καθήμενος ἐν τῷ σελίῳ αὐτοῦ μικρὸν ἀναπαύεται, εἴ ἐστι χειροτονία δηλονότι· ὁμοίως καὶ οἱ ἀρχιερεῖς· εἰ δὲ μή ἐστιν, ἀνέρχεται ἐν τῷ συνθρόνῳ μετὰ τῶν συλλειτουργούντων αὐτῷ ἀρχιερέων καὶ ἱερέων. Καὶ τούτων κατὰ τὴν ἰδίαν τάξιν ἱσταμένων καὶ τοῦ τρισαγίου παρ᾽ αὐτῶν ψαλλομένου, ὁ πατριάρχης, βλέπων πρὸς δυσμάς, εὐλογεῖ μετὰ τοῦ τρικηρίου τὸν λαὸν τρίς. Ὅταν δὲ κινήσῃ ἀνέρχεσθαι εἰς τὸ σύνθρονον, ἀσπάζεται πρῶτον τὴν ἁγίαν τράπεζαν· καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς. Καὶ τοῦ διακόνου εἰπόντος· «*Κέλευσον, δέσποτα*», λέγει ὁ πατριάρχης· «*Εὐλογημένος ὁ ἐρχόμενος*»· εἶτα πάλιν ὁ διάκονος· «*Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν*». Καὶ ὁ πατριάρχης· «*Εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου πάντοτε, νῦν*». Καὶ εὐθύς, ὁ μὲν πατριάρχης κάθηται ἐν τῷ συνθρόνῳ, οἱ δὲ ἀρχιερεῖς καὶ ἱερεῖς ἑκατέρωθεν αὐτοῦ — καὶ γίνεται ἡ φήμη τῶν βασιλέων καὶ τοῦ πατριάρχου.

Ἰστέον δὲ ὅτι, ὅτε οὐκ ἔνι χειροτονία ἀρχιερέως, γίνεται ἡ φήμη πρότερον, πρὸ τοῦ εἰπεῖν τὸ κοντάκιον.—Καὶ μετὰ τὴν φήμην ἐκφωνεῖ ὁ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



δομέστικος· « *Κύριε, σῶσον τοὺς βασιλεῖς* », Καὶ ὁ ἕτερος· « *Καὶ ἐπάκουσον ἡμῶν* »· καὶ ὁ ἄρχων τῶν κοντακίων « *δόξα* ». Καὶ ψάλλεται τὸ κοντάκιον τῆς ἡμέρας, καὶ εὐθὺς τὸ τρισάγιον. Καὶ μετὰ τὴν πλήρωσιν, ὁ διάκονος, «*Πρόσχωμεν*», ὁ πατριάρχης, «*Εἰρήνη πᾶσι*», καὶ τὰ λοιπά.

Μετὰ δὲ τὴν πλήρωσιν τοῦ Ἀποστόλου ἐκφωνεῖ ὁ πατριάρχης, « *Εἰρήνη σοι* », ὁ διάκονος, «*Σοφία*», ὁ ψάλτης, «*Ἀλληλούϊα*» ψαλμ. Ἔτι δὲ τοῦ Ἀποστόλου λεγομένου, θυμιᾷ ὁ διάκονος. Τοῦ δὲ « *ἀλληλούϊα* » ψαλλομένου, ὁ μέλλων ἀναγινώσκειν τὸ Εὐαγγέλιον, προσκυνήσας τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εἶτα ἀνελθὼν εἰς τὴν κρηπῖδα, καὶ τὰ συνήθη εἰπόντος ὁμοίως καὶ τοῦ πατριάρχου, λέγει ὁ διάκονος· «*Εἰς πολλὰ ἔτη δέσποτα* »· καὶ λαβὼν τὸ Εὐαγγέλιον ἐξέρχεται, διακόνων τεσσάρων προπορευομένων αὐτοῦ, οἵτινες μέλλουσιν ἐκ διαδοχῆς εἰπεῖν τὰς αἰτήσεις. Ὁ δὲ πατριάρχης, ἐκβαλὼν τὸ ὠμοφόριον, στρέφεται πρὸς ἀνατολὰς καὶ λέγει καθ᾽ ἑαυτὸν τὴν εὐχὴν ταύτην· « *Ἔλλαμψον ἐν ταῖς καρδίαις* », καὶ τὸ « *Κλῖνον Κύριε* » (ὅλον τὸν ψαλμόν)· εἶτα ἀσπάζεται τὴν αὐτόθι ἱσταμένην ἁγίαν εἰκόνα, καὶ οὕτω στρέφεται πρὸς δυσμάς, περιμένων τὴν πλήρωσιν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοῦ ἁγίου εὐαγγελίου. Οὕτω ποιοῦσι καὶ οἱ ἀρχιερεῖς, πλὴν τοῦ ἀσπασμοῦ τῆς ἁγίας εἰκόνος, διὰ τὸ μὴ ὑπάρχειν ἑτέρας ἁγίας εἰκόνας πλησίον αὐτῶν.

Δεῖ δὲ γινώσκειν, ὅτι μετὰ τὸ ἐκβαλεῖν τὸν πατριάρχην τὸ ὠμοφόριον, πλέον οὐκ ἐνδύεται αὐτό, εἰ μὴ κατὰ τὸν καιρὸν τῆς τῶν ἁγίων μυστηρίων ὑψώσεως, πρὶν εἰπεῖν τὸν διάκονον τὸ « *Πρόσχωμεν* ».—Εἰ δὲ ἔνι μεταξὺ χειροτονία ἢ πρεσβυτέρου ἢ διακόνου, ἐνδύεται αὐτὸ μέχρι τοῦ καιροῦ τῆς ὑψώσεως τῶν Ἁγίων. Τότε δὲ αὐτὸ ἐνδυόμενος, φορεῖ τοῦτο μέχρι τέλους τῆς λειτουργείας. Οἱ δὲ ἀρχιερεῖς ἐν τῷ καιρῷ μὲν τῆς χειροτονίας οὐκ ἐνδύονται, ἀπὸ δὲ τοῦ καιροῦ τῆς τῶν Ἁγίων ὑψώσεως ἐνδυόμενοι φοροῦσι μέχρι τέλους τῆς λειτουργίας· ἰδίᾳ δὲ λειτουργοῦντες, τὰ αὐτὰ ποιοῦσι τῷ πατριάρχῃ.

Τοῦ δὲ Εὐαγγελίου πληρωθέντος, λέγει ὁ πατριάρχης πρὸς τὸν διάκονον· « *Εἰρήνη σοι* », καὶ κατέρχεται τοῦ συνθρόνου· ὁ δὲ ἀναγνοὺς τὸ Εὐαγγέλιον πρόσεισι τῷ πατριάρχῃ, ἄρτι κατελθόντι τοῦ Συνθρόνου καὶ ἐγγίζοντι τῇ ἁγίᾳ Τραπέζῃ, καὶ δίδωσιν αὐτῷ ἀσπάσασθαι τὸ Εὐαγγέλιον· ὁ δέ, ἀσπασάμενος καὶ εἰπὼν πρὸς αὐτόν, « *Σωθείης* » καὶ εὐλογήσας αὐτόν, ἵσταται μικρὸν αὐτόθι. Ἄρχεται δὲ ὁ πρῶτος τῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐν τῷ Ἄμβωνι ἱσταμένων διακόνων τῆς ἐκτενοῦς, λέγων οὕτως· « *Εἴπωμεν πάντες*» καὶ τὰ λοιπά. Ὅταν δὲ λέγῃ· «*Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων*», ἀνέρχεται ὁ πατριάρχης εἰς τὴν μικρὰν ἀναβάθραν, κειμένην ἔνδον τῶν ἁγίων Θυρῶν, καὶ εὐλογεῖ τὸν λαόν, σφραγίζων αὐτὸν τρὶς μετὰ τοῦ τρικηρίου, ἐκφωνούντων τῶν ψαλτῶν τὸ « *Κύριε, ἐλέησον* » τρίς. Εἶτα ὑποστρέφων ἵσταται ἐν τῇ κρηπῖδι τῆς ἁγίας Τραπέζης, λέγων τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν· «*Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος* ». Καὶ οὕτως ἄρχεται ὁ ἐν τῷ Ἄμβωνι δεύτερος διάκονος λέγων· « *Εὔξασθε οἱ κατηχούμενοι* ».

Καὶ πληρωθέντων τῶν διακονικῶν τῶν κατηχουμένων, ἐκφωνεῖ ὁ χειροτονηθεὶς ἀρχιερεύς, ἤ, εἰμὴ ἐστιν ἀρχιερέως χειροτονία, ὁ πρῶτος τῶν ἀρχιερέων· «*Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν*». Εἶτα ἄρχεται ὁ τρίτος διάκονος λέγων· «*Ὅσοι κατηχούμενοι*». Ταῦτα δὲ λέγοντος, οἱ ἐν τῷ Βήματι διάκονοι ὑφαπλοῦσι τὸ εἰλητόν.

Τῆς δὲ εὐχῆς πληρωθείσης, ἐκφωνεῖ ὁ δεύτερος ἀρχιερεὺς τὴν ἐκφώνησιν ταύτην· «*Ὅτι πρέπει σοι*». Εἶτα ἄρχεται ὁ τέταρτος διάκονος λέγων· «*Ἔτι καὶ ἔτι*». Καὶ τῆς εὐχῆς πληρωθείσης, ἐκφωνεῖ ὁ πατριάρχης· «*Ὅπως ὑπὸ τοῦ κράτους σου*»· καὶ τὴν εὐχὴν εἰπὼν ἀπέρχεται

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



εἰς τὰς ἁγίας Θύρας καὶ λαμβάνει νίψιμον παρὰ τῶν ὑποδιακόνων. Ὑποστρέφων δὲ ἵσταται ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγων καθ' ἑαυτὸν τὸ χερουβικόν, τρὶς προσκυνῶν ἐν τῷ λέγειν αὐτό. Εἶτα στρέφεται πρὸς δυσμάς, περιμένων τὴν τῶν Ἁγίων εἴσοδον. Οἱ δὲ ἀρχιερεῖς καὶ αὐτοὶ ἀπονιπτόμενοι, ἵστανται ἐξ ἑκατέρου μέρους τοῦ Βήματος, ἀπὸ τῶν ἁγίων Θυρῶν μέχρι τῆς ἁγίας Τραπέζης. Ὁ δὲ κανστρίσιος θυμιῶν λέγει τὸ «*Ἐλέησόν με ὁ Θεός*», καὶ θυμιάσας τὰ ἅγια καὶ εἰπών· «*Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*», λέγει πρὸς τὸν πρωτοπαπᾶν· «*Ἔπαρον, δέσποτα, τὰς χεῖρας ἡμῶν*»· ὁ δέ, ἐπάρας τὸν ἅγιον δίσκον, καὶ εἰπών· «*Ἐπάρατε τὰς χεῖρας*», τίθησιν ἐπάνω τῆς κορυφῆς τοῦ εἰπόντος τὸ Εὐαγγέλιον, καὶ οὕτω γίνεται ἡ Εἴσοδος, προπορευομένου τοῦ ἐπὶ τῆς εὐταξίας ἔμπροσθεν, εἶτα τοῦ καντρισίου (μετὰ τοῦ ὠμοφορίου τοῦ πατριάρχου καὶ τοῦ θυμιατοῦ) ἢ τοῦ δευτερεύοντος τῶν διακόνων, εἶτα τῶν κρατούντων τὰ ῥιπίδια διακόνων, μεθ' οὓς ὁ τὸν ἅγιον Ἄρτον κρατῶν, καὶ ὄπισθεν αὐτοῦ οἱ κρατοῦντες τοὺς λοιποὺς δίσκους, εἶτα ὁ πρωτοπαπᾶς, μετὰ τοῦ ἁγίου ποτηρίου, καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν, ὄπισθεν δὲ πάντων οἱ κρατοῦντες ἐπὶ τῆς κεφαλῆς τὸν ἀέρα διάκονοι, καὶ μετ'

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



αὐτοὺς πάλιν οἱ ὑποδιάκονοι, κατέχοντες καὶ τὸ χερονιδόξεστον. Ὅταν δὲ ἔλθῃ ὁ κρατῶν τὸν ἅγιον Ἄρτον, κατερχόμενος ὁ πατριάρχης ἀφ' ἧς ἵσταται κρηπῖδος, καὶ προσυπαντῶν αὐτῷ λαμβάνει τὸν δίσκον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ καὶ τίθησιν αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ, συνεφαπτομένου καὶ αὐτοῦ. Ὁμοίως ποιεῖ καὶ εἰς τὰ ἐμπεπλησμένα ἅγια ποτήρια, θυμιῶντος αὐτὰ τοῦ κρατοῦντος τὸν θυμιατὸν διακόνου· εἰς δὲ τὸν ἀέρα συνεφάπτονται πάντες, ἀρχιερεῖς, ἱερεῖς καὶ διάκονοι, λέγοντες· «*Ὁ εὐσχήμων Ἰωσήφ*», καὶ τίθησιν ὁ πατριάρχης τὰ ποτήρια ἐξ ἑκατέρου μέρους τοῦ δίσκου, ἓν παρ' ἕν, καὶ αἴρουσιν οἱ διάκονοι τὰ καλύμματα, καὶ οὕτω τίθεται ὁ ἀήρ. Καὶ τοῦ κανστρισίου θυμιῶντος καὶ λέγοντος· «*Ἀγάθυνον, Κύριε*» (ἕως τέλους τοῦ ψαλμοῦ), πάντων προσκυνησάντων ἔμπροσθεν τῶν Ἁγίων, ὑποκλίνας ὁ πατριάρχης μικρὸν τὴν κεφαλὴν (καὶ) ἐφ' ἑκάτερα τὰ μέρει στραφείς, λέγει· «*Εὐλογεῖτε, ἅγιοι*»· καὶ πάντες προσκυνήσαντες αὐτόν, λέγουσι· «*Πνεῦμα ἅγιον ἐπελεύσεται*». Καὶ εὐθὺς λέγουσι· «*Μνήσθητι ἡμῶν, δέσποτα ἅγιε*»· καὶ ὁ πατριάρχης λέγει· «*Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον μνησθείη ὑμῶν ἐν*».

Τοῦ δὲ χερουβικοῦ πληρωθέντος, ἐρχόμενος ὁ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πατριάρχης εἰς τὰς ἁγίας Θύρας σφραγίζει τὸν λαὸν τρὶς μετὰ τοῦ τρικηρίου. Καὶ εἴ ἐστι χειροτονία πρεσβυτέρου, καθήμενος ἐν τῷ σελίῳ αὐτοῦ ἀναπαύεται ἕως γυρώσουσι τὸν μέλλοντα χειροτονεῖσθαι πρεσβύτερον τὴν ἁγίαν Τράπεζαν τρίς· εἶτα ἀνίσταται, καί, ἐνδυσάμενος τὸ ὠμοφόριον καὶ τελέσας τὴν χειροτονίαν, ἀποδύεται πάλιν τὸ ὠμοφόριον, καὶ λέγει ὁ διάκονος· «*Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ*» καὶ τὰ λοιπά, ὁ δὲ πατριάρχης τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν· «*Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ*». Ὅταν δὲ εἴπῃ ὁ διάκονος· «*Ἀγαπήσωμεν ἀλλήλους*», ἀσπάζεται ὁ πατριάρχης τὴν ἁγίαν Τράπεζαν, λέγων· «*Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου*». Εἶτα οἱ ἀρχιερεῖς κατὰ τάξιν ἀσπάζονται τὴν ἁγίαν τράπεζαν, εἶτα τὴν δεξιὰν τοῦ πατριάρχου χεῖρα, κειμένην ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶτα τὴν παρειὰν αὐτοῦ, ἐν ᾧ καὶ λέγει ὁ μὲν πατριάρχης· «*Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν*», οἱ δὲ ἀποκρίνονται αὐτῷ· «*Καὶ ἔστι καὶ ἔσται*». Πρῶτος δὲ πάντων ὁ χειροτονηθεὶς ἐστιν ἀρχιερεὺς ἐν πάσῃ τῇ τῆς λειτουργίας ὑπηρεσίᾳ. Ἀσπάζονται δὲ καὶ ἀλλήλους· ὁμοίως καὶ οἱ πρεσβύτεροι ποιοῦσιν, ἀσπαζόμενοι τὴν ἁγίαν Τράπεζαν, τὴν χεῖρα τοῦ πατριάρχου καὶ τὴν παρειάν, τοὺς ἀρχιερεῖς καὶ ἀλλήλους. Καὶ οἱ διάκονοι δ᾿ἐν ἑνὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



μέρει τοῦ Βήματος ἀπερχόμενοι ἀλλήλους ἀσπάζονται, πρότερον ἕκαστος αὐτῶν τὸ οἰκεῖον ἀσπαζόμενος ὠράριον καθ' ἕνα ἀσπασμόν.

Πληρωσάντων δὲ τῶν πρεσβυτέρων τὸν ἀσπασμόν, ὁ ἐν τῷ ἄμβωνι διάκονος ἐκφωνεῖ· «*Τὰς θύρας, τὰς θύρας*». Ὅταν δὲ λέγῃ· «*Στῶμεν καλῶς*», λαμβάνουσιν οἱ ἀρχιερεῖς μετὰ τοῦ πατριάρχου καὶ τῶν πρεσβυτέρων καὶ διακόνων τὸν ἀέρα, καὶ αἴρουσιν αὐτὸν ἀπὸ τῶν Ἁγίων, κατὰ μικρὸν ὑψοῦντες αὐτὸν καὶ λέγοντες τὸ «*Ἅγιος ὁ Θεός*». Ὁ δὲ πατριάρχης ἐκφωνεῖ· «*Ἡ χάρις τοῦ Κυρίου*». Καὶ ὅταν εἴπῃ· «*Εὐχαριστήσωμεν τῷ Κυρίῳ*», εἰσέρχεται ὁ ἐν τῷ ἄμβωνι διάκονος καὶ ποιεῖ ἀσπασμὸν μετὰ τῶν λοιπῶν διακόνων. Ὅτε δὲ μέλλει εἰπεῖν ὁ δευτερεύων τῶν διακόνων πρὸς τὸν πατριάρχην· «*Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον*», εἴπερ εἰσὶ πολλά, λέγει πληθυντικῶς. Καὶ μετὰ τὸ τελειωθῆναι τὰ ἅγια, λέγει ὁ πατριάρχης πρὸς τοὺς διακόνους· «*Μνησθείη ἡμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ*», καὶ εὐθύς, εἰ ἐχειροτονήθη πρεσβύτερος, προσέχεται καὶ ἐπιδίδωσιν αὐτῷ ὁ πατριάρχης τὴν παρακαταθήκην. Ὅταν δὲ ἐκφωνήσῃ τὸ «*Ἐξαιρέτως*», λέγουσι καὶ οἱ ἀρχιερεῖς καὶ ὁ πατριάρχης καὶ οἱ διάκονοι καθ' ἑαυτοὺς τὸ «*Ἄξιόν ἐστι*». Πρὸ δὲ τοῦ εἰπεῖν τὸν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πατριάρχην τὴν ἐκφώνησιν ταύτην· «*Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς*», λέγει εἷς τῶν διακόνων ἔνδοθεν· «Καὶ ὧν ἕκαστος κατά».

Ἰστέον δέ, ὅτι, εἰ ἀρχιερεύς ἐστιν ὁ λειτουργῶν, λέγει· «*Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχι*». Καὶ μετὰ τὴν ἐκφώνησιν λέγει ὁ διάκονος τὰ δίπτυχα. Καὶ πληρώσας προσκυνεῖ τὸν πατριάρχην καὶ λαμβάνει παρ᾽ αὐτοῦ εὐλογίαν. Καὶ ὅταν ἐκφωνήσῃ ὁ πατριάρχης τὸ «*Καὶ ἔσται τὰ ἐλέη*»· καθήσας ἐν τῷ σελίῳ αὐτοῦ, εἴπερ ἐστὶ χειροτονία διακόνου, μικρὸν ἀναπαύεται, καὶ μετὰ τὴν χειροτονίαν λέγει ὁ διάκονος· «*Πάντων τῶν Ἁγίων*». Μετὰ δὲ τὸ τελειῶσαι τὸν πατριάρχην τὴν εὐχὴν ταύτην· «*Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου*», εὐθὺς φορένει τὸ ὠμοφόριον· ὁμοίως καὶ οἱ ἀρχιερεῖς. Ὁ δὲ πατριάρχης μελίσας τὸν ἅγιον Ἄρτον (καὶ) λαβὼν τὴν ἄνω μερίδα, μερίζει αὐτὴν ἀναλόγως πρὸς τὰ ποτήρια, καὶ ἕκαστον τῶν τμημάτων ἐμβάλλει τῶν ποτηρίων ἑκάστῳ, ποιῶν σταυρὸν σὺν αὐτῇ ἐπάνω τοῦ ἁγίου ποτηρίου, καὶ λέγων· «Πλήρωμα Πνεύματος ἁγίου»· καὶ ὁ διάκονος τὸ «*ἀμήν*». Μετὰ δὲ τὸ ἐγχέαι τοῦ ζέοντος τὸ ἀρκοῦν ἑκάστῳ τῶν ποτηρίων, ὁ πατριάρχης ἢ ὁ πρωταπαπᾶς, προτροπῇ αὐτοῦ, διαιρεῖ τὰς λοιπὰς μερίδας τοῦ ἁγίου Ἄρτου εἰς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



λεπτά, πρὸς τὸ ἀρκέσθαι πᾶσιν. Εἶτα ὁ χειροτονηθεὶς ἀρχιερεὺς προσελθών, ἢ ὁ εὑρισκόμενος πρῶτος τῶν ἄλλων, εἰ μή ἐστι χειροτονία, καὶ λαβὼν μερίδα τοῦ ἁγίου Ἄρτου δίδωσι τῷ πατριάρχῃ. Ὁ δὲ λαβὼν αὐτὴν τῇ δεξιᾷ χειρὶ καὶ τοῖς τρισὶ δακτύλοις συσφίγξας αὐτὴν ἐν τῇ παλάμῃ, τοῖς λοιποῖς δυσὶ δακτύλοις λαμβάνει ἄλλην μερίδα καὶ δίδωσιν αὐτῷ· καὶ δεξάμενος ἀσπάζεται τὴν χεῖρα τοῦ πατριάρχου καὶ τὴν παρειάν, τοῦ μὲν πατριάρχου λέγοντος· «*Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν*», τοῦ δὲ ἀρχιερέως· «*Καὶ ἔστι καὶ ἔσται*».

Μεταλαβόντες δὲ τοῦ ἐν χερσὶν ἁγίου σώματος, ἀποσπογγίζουσι τὰς χεῖρας αὐτῶν εἰς τὸ εἰλητόν. Ὁ δὲ ἀρχιερεὺς λαβὼν πρῶτον τὸ ποτήριον μεταδίδωσι τῷ πατριάρχῃ, εἶτα ὁ πατριάρχης τῷ ἀρχιερεῖ. Καὶ οὕτως ὁ μὲν ἀρχιερεὺς λαβὼν τὸ ποτήριον μετὰ τοῦ καλύμματος, συνεργούντων αὐτῷ καὶ διακόνων τινῶν δι᾽ ἀσφάλειαν, ἵσταται ἐπὶ τοῦ δεξιοῦ κίονος, ἐκδεχόμενος τοὺς προσερχομένους ἐπὶ τὸ μεταλαβεῖν.—Ὁ δὲ πατριάρχης λαβὼν τὸν ἅγιον δίσκον μεταδίδωσι τοῖς λοιποῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τῶν μερίδων τοῦ ἁγίου Ἄρτου· εἶτα μεταλαμβάνουσι καὶ ἀπὸ τοῦ ἁγίου ποτηρίου. Τῷ δὲ πρώτως τῶν λοιπῶν ἀρχιερέων κοινωνήσαντι ἀρχιερεῖ,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐπιδίδοται παρὰ τῶν διακόνων τὸ δεύτερον ποτήριον καὶ ἵσταται ἐν τῷ ἀριστερῷ κίονι· καὶ μετ' αὐτοὺς ἵστανται οἱ τὰ λοιπὰ ποτήρια κατέχοντες. Οἱ δὲ διάκονοι πρότερον ἀπελθόντες ἐν μέρει τοῦ ἁγίου Βήματος, καὶ συγχώρησιν παρ'ἀλλήλων ἐξαιτησάμενοι καὶ λαβόντες, προσέρχονται καὶ αὐτοί, καὶ μεταλαμβάνουσι τοῦ τε ἁγίου Ἄρτου καὶ τοῦ ἁγίου ποτηρίου.

Τῆς δὲ κοινωνίας τελεσθείσης, τὰ μὲν ἅγια ποτήρια ἀποτίθενται παρὰ τῶν διακόνων ἐν τῇ ἁγίᾳ Τραπέζῃ, ὁ δὲ δευτερεύων τῶν διακόνων λαβὼν μετὰ χεῖρας τόν τε ἅγιον δίσκον καὶ τὴν μοῦσαν, εἰςκομίζει πάντα ἐν τῷ ἁγίῳ ποτηρίῳ. Ὁ δὲ πατριάρχης, τούτου γινομένου, ἐπιλέγει τὴν τῆς εὐχαριστίας εὐχήν. Εἶτα λαβὼν ὁ δευτερεύων τὸ ἅγιον ποτήριον, καὶ προπορευόμενος τοῦ πατριάρχου ἔρχεται εἰς τὰς ἁγίας Θύρας, ὁ δὲ πατριάρχης λαβὼν ἀπὸ τῶν τοῦ διακόνου χειρῶν τὸ ἅγιον ποτήριον μεταδίδωσι διὰ τῆς λαβίδος τοῖς ὑποδιακόνοις καὶ ἀναγνώσταις.

Τοῦ δὲ ἁγίου ποτηρίου ἀποτεθέντος ἐν τῇ ἁγίᾳ Τραπέζῃ, θυμιᾷ ὁ δευτερεύων τὰ Ἅγια ἐκ τρίτου, λέγων· «*Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός*» · ὁ δὲ πατριάρχης λαβὼν τὸν ἅγιον δίσκον ἐπιτίθησι τῇ κεφαλῇ ἑνὸς τῶν διακόνων, καὶ εἰπὼν ἠρέμα· «*Εὐλογητὸς ὁ Θεὸς ἡμῶν*»,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



εἶτα ἐκφωνεῖ· «*Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας*».

Τὰ δὲ ἅγια ποτήρια λαμβάνουσι πρεσβύτεροι καὶ ἀποφέρουσιν ἐν τῇ προθέσει. Ἀπέρχονται δὲ καὶ διάκονοι σὺν αὐτοῖς, κατὰ τὸν ἀριθμὸν τῶν ποτηρίων, καὶ εἰςκομίζουσι τὰ Ἅγια. Οἱ δὲ ὑποδιάκονοι εἰςερχόμενοι εἰς τὸ ἅγιον Βῆμα, διδόασι νίψιμον τῷ πατριάρχῃ· ὁμοίως καὶ πάντες οἱ κοινωνήσαντες, ἀπερχόμενοι ἐν τῷ συνήθει τόπῳ, ἀπονίπτονται τὰς χεῖρας καὶ τὰ πρὸ τῶν χειλέων ἑαυτῶν, λέγοντες· «*Νῦν ἀπολύεις*» καὶ τὰ λοιπά. Μετὰ δὲ τὸ εἰπεῖν τοὺς ψάλτας τὸ «*Πληρωθήτω*», ὁ ἀρχιδιάκονος, ἤ, εἴπερ ἐχειροτονήθη, διάκονος, ἐξελθὼν λέγει τὰ διακονικά· «*Ὀρθοί, μεταλαβόντες*». Ὁ δὲ πατριάρχης, τοῦ εἰλητοῦ διπλωμένου, ἐκφωνεῖ· «*Ὅτι σὺ εἶ ὁ ἁγιασμός*». Ἐξελθὼν δὲ ὁ δευτερεύων τῶν ἱερέων, εἰ δὲ ἐγένετο πρεσβύτερος, οὗτος λέγει τὴν εὐχήν· «*Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε*». Ταύτης δὲ λεγομένης, ὁ πατριάρχης στὰς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, ἢ ἕτερος πατριάρχης, ὃν ἂν προτρέψῃ, διανέμει τῷ λαῷ τὸ ἀντίδωρον, καὶ λέγει καὶ τὴν ἀπόλυσιν, σφραγίζων καὶ τὸν λαὸν τρίς. Ἢ οὕτως: ἐν τῷ λέγειν αὐτόν· «*Εὐλογία Κυρίου ἐφ' ὑμᾶς*», σφραγίζει καὶ τὸν λαόν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Ἀποδύεται δὲ ὁ πατριάρχης τὰ ἀρχιερατικά, κάτω που ἱστάμενος, περὶ τὰς τοῦ Συνθρόνου βαθμίδας, λεγόντων τῶν διακόνων τῶν ὑπηρετούντων τὸ «*Νῦν ἀπολύεις τὸν δοῦλόν σου*» καὶ τὰ λοιπά, καὶ ποιεῖ ὁ πατριάρχης ἠρέμα τὴν ἀπόλυσιν. Καὶ καθήμενος ἐν τῷ σελίῳ αὐτοῦ, ἐν ᾧ ἀπεφόρεσε τόπῳ, μικρὸν ἀναπαύεται. Εἶτα ἀναστὰς καὶ προσκυνήσας ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ τῷ Θεῷ εὐχαριστήσας ἐπὶ πᾶσι, καὶ «*Δόξα σοι, Κύριε, πάντων ἕνεκεν*» ἐπειπών, ἐξέρχεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000023445

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ